Ἐκ τῆς εὐρείας ταύτης ἐκτάσεως, ἣν προσδίδει εἰς τὴν ἀπεικόνισιν τῶν χαρακτήρων του, τοσαύτη ἀπορρέει διδασκαλία, αὕτη δὲ πληροῖ τὰ *σακεσπείρεια* ἔργα πρακτικῶν ἀξιωμάτων καὶ βιοτικῆς συνέσεως. Ἐρρήθη περὶ τοῦ *Εὐριπίδου*, ὅτι ἕκαστος αὐτοῦ στίχος ἦτο καὶ ἓν ἀπόφθεγμα, ἀλλὰ περὶ τοῦ *Σακεσπείρου* δύναται νὰ λεχθῇ ὅτι ἐκ τῶν ἔργων του δύναταί τις ν' ἁρυσθῇ σύστημα πολιτικῆς καὶ οἰκονομικῆς σοφίας. Κατὰ τοῦτο λοιπὸν ὑπερέχει ὁ *Σακεσπεῖρος*, ὅτι τὸ δρᾶμά του εἶναι πιστὸν κάτοπτρον τοῦ βίου καὶ ὅτι ἐκεῖνος, οὗ ἡ φαντασία ἀπεπλανήθη διώκουσα τὰ φάσματα, ἅτινα ἄλλοι συγγραφεῖς ἐγείρουσιν ἐνώπιον αὐτοῦ, θεραπεύεται τῆς παραφόρου ταύτης ἐκστάσεως ἀναγινώσκων αἰσθήματα πραγματικῶς ἀνθρώπινα, ἐν ὄντως ἀνθρωπίνῃ γλώσσῃ διατυπούμενα. Τὸ ἀποτέλεσμα δὲ τοῦτο ἐπέρχεται ἐκ τῶν δραματικῶν ἐκείνων ἔργων, ἐξ ὧν καὶ αὐτὸς ὁ ἐρημίτης δύναται νὰ κρίνῃ περὶ τῶν τοῦ κόσμου πραγμάτων, ὡς ἐπίσης κληρικὸς δύναται νὰ προϊδῃ τὴν πορείαν τῶν ἀνθρωπίνων παθῶν.

ΠΕΡΙ ΚΑΛΟΥ ΚΑΙ ΕΠΟΥΣ

ὑπὸ

ΙΑΡΔΑΝΟΥ ΚΑΡΟΛΙΔΟΥ

Ἔτει, εἰ μή τι μνήμης ἁμαρτάνω, 1884ῳ, ἐπὶ *Καλλιάδου* προέδρου τοῦ *ῥήτορος*, ἀνέγνωμεν εἰσαγωγὴν εἰς τὸ ποιημάτιον *Νάλον*, ἐν ᾧ ἐλέγομεν ὀλίγα πάνυ περὶ ἔπους. Ἐκεῖνα νῦν ὅση δύναμις ἡμῖν εὑρύναντες καὶ βραχυτάτην *περὶ τέχνης καὶ τοῦ καλοῦ* θεωρίαν συνάψαντες παρατιθέναι τολμῶμεν ὑμῖν εὐγνωμόνων, ὡς φησί που *Πλούταρχος*, τῶν ἀκρωμένων οἰόμενοι τεύξεσθαι. Ἐπεὶ δὲ περὶ ἔπους ἡμῖν ὁ λόγος, ἀρκτέον, ὡς εἰκός, ἀπὸ τῆς ποιήσεως ἁπλῶς, ἵν' ἐκ τοῦ γένους ἀφικώμεθα βαθμηδὸν εἰς τὸ εἶδος.

Ἔστι δὴ *ποίησις* αἰτία πᾶσα καθόλου καὶ ἐργασία πᾶσα τεχνικὴ κατὰ *Πλάτωνα*[1], δι' ἥς τι μήπω πρότερον ὂν εἰς τὸ εἶναι μεθίσταται[2]. Ἔστι μὴν ἐνθάδε τὸ *εἶναι* τῷ φιλοσόφῳ τὸ εἶδος, ὅ τινι μορίῳ τῆς ὕλης ἐναποτυπῶν ὁ τεχνίτης γενέσθαι ποιεῖ τι μὴ πρότερον ὑπάρχον (αὐλόν, εἰκόνα, κύλικα). Τὸ γὰρ ἁπλῶς ἐξ οὐκ ὄντος εἰς τὸ εἶναί τι μεθιστάναι τοῦ θείου νομίζομεν εἶναι μόνου. Ταὐτὸν οὖν ἡ ποίησις οὕτω θεωρουμένη τῇ *τέχνῃ*, μόριον ἐχούσῃ τὴν οὕτω καλουμένην ἰδίᾳ[3]. Οὖσα δέ τι σύμφυτον ἡ τέχνη διὰ τὸ χειρός τε τυχεῖν ἐπιτηδείου καὶ νοῦ παρὰ τῆς φύσεως[4] ἔσχε γένεσιν οἵαν ἡ κοινωνία κατ' *Ἀριστοτέλη* τοῦ γὰρ ζῆν ἕνεκα τὸ ἐξ ἀρχῆς γενομένη τοῦ ζῆν εὖ χάριν οὖσα διατελεῖ καὶ τούτου στοχαζομένη[1]. Γενέσθαι δὲ πᾶσα τέχνη δοκεῖ τῇ ἐπινοίᾳ τὸ πρῶτον εὑρετικοῦ τινος, ὑπεροχωτέρου τῶν ἡλίκων, οὗ μιμηταί τινες, ὡς εἰκός, ἐγίνοντο κἀκείνων ἕτεροι συνεχῶς ἀεὶ παρὰ τῶν εἰδότων οἱ μὴ διδασκόμενοι. Εὕρεσις ἄρα καὶ μίμησις ἡ τῆς τέχνης ἀρχή· ροπὴν δὲ μεγίστην ἐσχηκέναι δοκεῖ πρός τε γένεσιν αὐτῆς καὶ τὴν ἀνὰ χρόνον ἐνιαχοῦ τελείωσιν ἥ τε διδάσκουσα πάντα χρειὼ[2] καὶ ἡ τοῦ τόπου φύσις, ἔτι δ' ἦθη καὶ πλοῦτοι καὶ ἡ περὶ τοῦ θείου δόξα καὶ τὸ δεκτικὸν οὐχ ἥκιστα τοῦ γένους.

Γενομένη δ' οὕτως ἡ τέχνη τὸ μὲν ἐμιμεῖτο τὰ φυσικά, τὸ δ' ἀνεπλήρου τὸ τῆς φύσεως ἐλλεῖπον[3]. Ἐπεὶ δ', ὡς ἐρρήθη, τοῦ ζῆν ἕνεκεν ἐγένετο πρῶτον, ἦν ἐφ' ὅσον εἰς τοῦτο μόνον ἀπέβλεπε, βάναυσος αὐτή τε καὶ ὁ τεχνίτης[4]. Ἀνὰ δὲ χρόνον εἰς τὸ ζῆν εὖ ἀρξαμένης ἐργάζεσθαι καὶ τοῦ *καλοῦ* μετὰ τοῦ εἶναί τε καὶ ἰδίᾳ στοχάζεσθαι, διεκρίθησαν αἱ τούτου δημιουργοὶ τῶν ἄλλων, *ἐλευθέριοι* καὶ *τέχναι* κατ' ἐξοχὴν ὀνομασθεῖσαι, καὶ διατελοῦσιν ἐς τόδε μετὰ πολλὰς ἐπ' ἄμφω μεταβολὰς πολλαχοῦ τῆς οἰκουμένης καλλύνουσαί τε καὶ ῥυθμίζουσαι καὶ τέρπουσαι καὶ σὺν ταῖς ἐπιστήμαις παιδεύουσαί τε καὶ πρὸς τὸ τέλειον ἄγουσαι τὰς κοινωνίας. Ἐκινήθη δὲ τὰ πρῶτα καὶ κινεῖται παριστάναι τὸ καλὸν ὁ τεχνίτης ὑπ' ἐνθουσιασμοῦ καὶ καθόλου πάθους ὑψηλοῦ καὶ εὐγενοῦς εἰς αἰσθητὸν ἢ νοητόν, εὐειδές, χαρίεν, ἐξαίσιον· τοῦ γὰρ τοιούτου πάθους ἄνευ οὐκ ἔνι τι τούτων ἁπλῶς ἐπιτελεῖσθαι. Εἰ δέ τί που τὸ ἀνθρώπινον εἰργάσατό ποτε τοιοῦτον, ἔστι δῆλα γενόμενα πάντα καθ' οὓς ἐκεῖνο χρόνους ἐνθουσιασμὸς ἢ πόθος ἢ φιλοτιμία κατεῖχέ τις ἔζοχος.

Τὸ δὴ τοιοῦτον αἰσθητὸν ἢ νοητὸν ὀφθὲν ἢ νοηθὲν ὑπὸ δεκτικοῦ τινος ἔρωτα καὶ πόθον ἐνίησιν αὐτῷ τοῦ ποιεῖν ἢ γενναῖν (εἰ γυνὴ τὸ φανέν) οἷον ἐκεῖνο, παριστάμενον ἤδη πως ἀμυδρῶς αὐτοῦ τῇ φαντασίᾳ· κοινῇ μὲν οὖν ὁ πόθος εἶναι δοκεῖ τοῦ καλοῦ, τὸ δ' ἀληθὲς ἀθανασίας ἐστὶν ἐν τῷ καλῷ κατὰ *Πλάτωνα*[1]. Ποιοῦν τι γὰρ οἷον ἀθάνατον ἀποβαίνει τὸ θνητὸν ὡς καὶ τίκτον, αὐτὸ μὲν εἶναι μὴ δυνάμενον *ἓν ἀριθμῷ καὶ ταὐτὸν* ἀεί, τῷ δ' ἔργῳ πη καὶ τῷ τέκνῳ τούτου τυγχάνον· διὸ χαρίεν ὅ τις εἶπεν ἀγάμῳ φίλῳ παίδων αὐτὸς πατὴρ ὡς τι μετὰ χρόνον ἐσόμενον μακρὸν αὐτὸς μὲν ὄψοιτο, ὁ δὲ φίλος οὔ· βούλεται μὲν οὖν οὕτω τὸν ἀεὶ χρόνον ὑπάρχειν, ἐφίεται δ' εἶναι καλὸν ὡς ἕνι καὶ τέλειον· διὸ καὶ πέφυκε γεννᾶν ὁ γεννῶν ἐν τῷ καλῷ κατὰ *Πλάτωνα*[2], τὸ γὰρ αἰσχρὸν αὐτὸν συσπειρᾶσθαι ποιεῖ σκυθρωπὸν καὶ λυπούμενον καὶ μὴ γεννᾶν, ἀλλὰ φέρειν χαλεπῶς ἴσχον τὸ κύημα[3].

Πρὸς μὲν οὖν παιδογονίαν ἔστιν ἡ φιλότης κοινὴ τῷ ἀνθρώπῳ πρὸς τὰ ζῷα δεινῶς ὁμοίως περὶ τοῦτο διατιθέμενα καὶ νοσοῦντα, ἀθανασίας ἅτε κἀκεῖν' ἐρῶντα μὴ συνειδότα[4]· συμβαίνει μέντοι τῷ πλείστῳ τῶν ἀνθρώπων εἰς φιλότητα φέρεσθαι μὴ πάνυ τι πρὸς τὸ καλὸν ὑπὸ φορτικότητος ὁρῶντας, ἀλλά που πρὸς ὥραν ἢ χρόαν ἢ φωνὴν ἢ μέγεθος, ἀντὶ τοῦ καλοῦ τούτων ἓν ἤ τιν' ὁμοῦ μεταλαμβάνοντας· κινεῖ δ' αὐτοὺς ἐν τοῖς γάμοις καὶ τὸ πρὸς ὕνησιν ἢ δήποτε συμβαλλόμενον· ἔτι δὲ πρὸς τούτοις ἦθη καὶ νόμοι πολλὰ πολλάκις παρὰ τὸν ἔρωτα βιαζόμενοι[1]· τὸ δὲ τοῦ ἀνθρωπείου θειότερον ἢ μουσικώτερον ὀλιγωρεῖ μὲν οὐ τοῦ καλοῦ καὶ γενναίου σώματος, ἀσπάζεται δὲ σὺν τούτῳ μᾶλλον ἐὰν ἐντύχῃ που ψυχῇ καλῇ τε καὶ εὐφυεῖ, ὥστε παρὸν μὲν ἀσπάζεται συναμφότερον, εἰ δὲ μὴ πάρεισιν ἄμφω, τὸ τῆς ψυχῆς ἀντ' ἐκείνου προαιρεῖται κάλλος[2]. Τοῦ δὲ καλοῦ τυχεῖν οὐδ' ἔστι πᾶσι διὰ τὸ σπάνιον ἐξ οὗ καὶ περιμάχητον, ἅτε φειδοί πως, ὡς ἔοικε, τοῦ θείου τῇ φύσει τὸ καλὸν ἐναπομάττοντος. Ἔτι δὲ δοκεῖ μὲν εἶναι τὸ καλὸν ἁπλοῦν ἢ πᾶσιν, ὁμοίως ὑπὸ πάντων ἐπαινούμενον ἢ θαυμαζόμενον, ἔστι δ', ὡς ἔοικεν, οὐχ ἁπλοῦν, ἀλλά τινι καὶ (*Δημοκρίτου* λέξει) νόμῳ, πάθει καὶ δόξῃ καὶ συνηθείᾳ συνημμένον· ὅθεν ὀρθῶς ὁ Πέρσης «ἄλλοις» εἶπεν «ἄλλα καλά»[3]. Περὶ μὲν οὖν τοῦ καλοῦ καὶ αὖθις ἡμῖν ὁ λόγος ἔσται παρακατιοῦσι.

Τῇ δὲ τέχνῃ, ἢ μόνος ἢ σχεδόν τι μόνος ἐν τοῖς ἔχουσι ζωὴν διαπρέπει, ἀφικνεῖται τοῦ τέλους ὁ ἄνθρωπος εἴδει κοσμῶν εὐμεθόδως ὕλην ἥ τι ποσὸν ἐπιτήδειον, ὥστε τι γενέσθαι τῷ ὄντι καλὸν ἢ χαρίεν, ὅπερ ἀπαθανατίζει πως ἐν τῷ καλῷ τὸν ἐργασάμενον, ἐμφαῖνον αὐτοῦ τοῖς ἐπιγενομένοις τὴν ἀρετὴν ἢ τὸ ὑπέροχον, οἱονεί τι τῆς ἐκείνου ψυχῆς ἀποτύπωμα. Ταὐτὸ δ' ἄν τις εἴποι καὶ περὶ τῶν ὑπὲρ ἀρετῆς ἀθανάτου καὶ δόξης εὐκλεοῦς οὐσίαν τε πολλὴν ἀναλωσάντων καὶ πόνους καὶ κινδύνους οὐκ ὀλίγους ὑπομεινάντων, ἅτε κἀκείνων ἀθανασίας ἔρωτι ταῦτα πραξάντων[4], ἀθάνατον ἔσεσθαι μνήμην αὐτοῖς οἰομένων· διατελεῖ γὰρ ἀεί πως *ὢν* ὁ μνήμης τυχὼν ἀϊδίου, καὶ μηκέτι παρών· τὸ γὰρ *εἶναι* συνῆπταί πη τῇ γνώσει· τὸ δ' ἀγνοούμενον οὐδ' εἶναί πη δοκεῖ, καὶ καθάπερ ὑποτίθησι τὸ εἰδέναι τὸ *εἶναι*, οὕτω πη καὶ τοῦτ' ἐκεῖνο· διὸ καὶ τὸ θεῖον εὐδοκῆσαν, ὡς ἔοικεν, αὐτοῦ γνωσθῆναι τὸ μέγα τε καὶ δυνατὸν καὶ σοφόν τε καὶ τέλειον ἐποίησε τό δε τὸ πᾶν, οὗ τῇ νοήσει διατελεῖ τὸν ἄπειρον αἰῶνα καθορώμενον, ἀόρατον ὄν[5]. Ἐπεὶ δὲ πᾶν τὸ γενόμε-

---

1. Συμπ. 205 C.

2. αὐτ. B.: ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν ἰόντι ὁτῳοῦν αἰτία πᾶσά ἐστι ποίησις.

3. *Πλάτ.* ἔνθ' ἀν.: ἀπὸ πάσης τῆς ποιήσεως ἓν μόριον ἀφορισθὲν τὸ περὶ τὴν μουσικήν τε καὶ τὰ μέτρα τῷ τοῦ ὅλου ὀνόματι προσαγορεύεται· ποίησις γὰρ τοῦτο μόνον καλεῖται καὶ οἱ ἔχοντες τοῦτο τὸ μόριον τῆς ποιήσεως ποιηταί.

4. *Ἀριστ.* περὶ ζῴων μορίων IV, 10. *Ἀναξαγόρας* φησὶ διὰ τὸ χεῖρας ἔχειν φρονιμώτατον εἶναι τῶν ζῴων ἄνθρωπον· εὔλογον δὲ διὰ τὸ φρονιμώτατον εἶναι χεῖρας λαμβάνειν· αἱ μὲν γὰρ χεῖρες ὄργανόν εἰσιν, ἡ δὲ φύσις ἀεὶ διανέμει, καθάπερ ἄνθρωπος φρόνιμος, ἕκαστον τῷ δυναμένῳ χρῆσθαι· προσήκει γὰρ τῷ *ὄντι* αὐλητῇ δοῦναι μᾶλλον αὐλοὺς ἢ τῷ αὐλοὺς ἔχοντι προσθεῖναι αὐλητικήν· τῷ γὰρ μείζονι καὶ κυριωτέρῳ προσέθηκε τοὔλαττον, ἀλλ' οὐ τῷ ἐλάττονι τὸ τιμιώτερον καὶ μεῖζον. Εἰ οὖν οὕτως βέλτιον, ἡ δὲ φύσις ἐκ τῶν ἐνδεχομένων ποιεῖ τὸ βέλτιστον, οὐ διὰ τὰς χεῖράς ἐστιν ὁ ἄνθρωπος φρονιμώτατος, ἀλλὰ διὸ τὸ φρονιμώτατον εἶναι τῶν ζῴων ἔχει χεῖρας· ὁ γὰρ φρονιμώτατος πλείστοις ἂν ὀργάνοις ἐχρήσατο καλῶς, ἡ δὲ χεὶρ ἔοικεν εἶναι οὐχ ἓν ὄργανον, ἀλλὰ πολλά· ἔστι γὰρ ὥσπερεὶ ὄργανον πρὸ ὀργάνων· τῷ οὖν πλείστας δυναμένῳ δέξασθαι τέχνας τὸ ἐπὶ πλεῖστον τῶν ὀργάνων χρήσιμον, τὴν χεῖρα, ἀποδέδωκεν ἡ φύσις.

1. *Ἀριστ.* Πολ. 1, 2: ἡ πόλις (=πολιτικὴ κοινωνία)..... γινομένη μὲν τοῦ ζῆν ἕνεκα, οὖσα δὲ τοῦ εὖ ζῆν.

2. «Χρειὼ πάντ' ἐδίδαξε· τί δ' οὐ χρειώ κεν ἀνεύροι;»

3. *Ἀριστ.* Φυσ. Ἀκρ. 2, 8: «ὅλως ἡ τέχνη τὰ μὲν ἐπιτελεῖ ἃ ἡ φύσις ἀδυνατεῖ ἀπεργάσασθαι, τὰ δὲ μιμεῖται».

4. *Ἀριστ.* Πολ. 1, 5, 10. Ἔστι δ' ἡ λέξις παρὰ τὸ *βαῦνος* καὶ τὸ *αὔω* τ. ἔ. ὁ παρὰ τὴν κάμινον ἐργαζόμενος· ἰδ. καὶ *Πλ.* Συμπ. 203 A.

1. Συμπ. 207.

2. Συμπ. 206 καὶ 209.

3. Αὐτόθ. 206 D.

4. Αὐτ. 207 A.

1. Πρωταγ. 337 D: ἔστι δ' ὁ λόγος *Ἱππίου* τοῦ σοφοῦ· πρβλ. καὶ *Πίνδ.* ἀπόσπ. 151.

2. Συμπ. 209.

3. Παρὰ *Πλουτ.* ἐν βίῳ *Θεμιστοκλέους*.

4. Συμπ. 208.

5. Ἐπιστ. πρ. Ῥωμ. 1,20. Πράξ. 14,17. Συνῳδὰ δ' ἀποφαίνεται καί τις ἱερὰ παράδοσις (حديث قدسى) (كنت كنزاً مخفياً فأحببت ان اعرف فخلقت الخلق ليعرفونى)

νον ἢ ποιηθὲν ὑπό τινος οἷόν ἐστιν ἀποβλάστημα καὶ θάλος ἐκείνου, πέφυκεν ἐκ τούτου φιλεῖν τε καὶ τιμᾶν ὥσπερ ὁ τεκὼν τὸ γεννηθέν, οὕτως ὁ ποιήσας τὸ ποιηθὲν ἢ τὸ δημιούργημα. Ὅθεν ὁ μὲν φιλόσοφος ἀγάμενον οἱονεὶ καὶ χαίροντα παρίστησι τῷ πονήματι τὸν θεὸν ἐν τῷ Τιμαίῳ[1], ὁ δὲ προφήτης εὐφρανεῖσθαί φησι τὸν Κύριον ἐπὶ τοῖς ἔργοις[2]. Ἐκ δὲ τούτου καὶ τὸ κομιδῇ τοῦ θείου φιλάνθρωπον καὶ ἡ πᾶσα διὰ τοῦ *Σωτῆρος* οἰκονομία τὴν ὑπερβολὴν αἴτιον ἔσχε τῆς τοῦ δημιουργοῦ πρὸς τὸ δημιούργημα, τὸν ἄνθρωπον, ἀγάπης[3].

Τὸ μὲν οὖν θεῖον ἐν ἀρχῇ ποτε *νόου φορεὶ* τὰ πάντα ποιῆσαν διατελεῖ διατηροῦν αὐτὰ τῇ βουλήσει καὶ δημιουργοῦν ἀεὶ τὸ καλὸν ἐν αἰσχροῖς μυρίοις. Ἔστι γὰρ αἰσχρὰ καὶ φαῦλα κατ' *Ἀριστοτέλη*[4] τῶν ἐν τῇ φύσει τὰ πλεῖστα διὰ τὸ πολλῇ τῇ φειδοῖ, καθάπερ εἴρηται, τῇ φύσει τὸ καλὸν ἐγκατασπαρῆναι. Τὸ δ' ἀνθρώπειον ἀεὶ μέν, ἐξ οὗ ποτε τέχνην ἀσκεῖ, διατελεῖ τοῦ καλοῦ στοχαζόμενον ἐν εἴδεσι πλείστοις, ὀλίγα μέντοι γένη τῶν ἐπὶ γῆς ἀρχαιά τε καὶ νεώτερα, τῶν Ἰταλῶν ἐν τούτοις ἀρχὴν βαλομένων, τὰ μὲν ἐξίκοντο τὸ πάλαι, τὰ δὲ διατελοῦσιν αὐτοῦ καθικνούμενα μέχρι τοῦδε, Γαλατῶν μέν, ὡς ἔοικε, τὰ νῦν ἐν Εὐρώπῃ, Νιππονίων δ' ἐν Ἀσίᾳ τῶν ἄλλων ἡγουμένων.

Τί δ' ἐστὶ τὸ καλὸν ἐφιλοσόφησαν ἀρχαῖοί τε καὶ νεώτεροι πολλὰ περὶ τούτου, *Πλάτωνος*[5] ἡγησαμένου καὶ *Πλωτίνου*[6], ὧν ἑκατέρῳ τὸ *εἶδος* εἶναι δοκεῖ τοῦ καλοῦ γενέτειρα, δι' αὐτοῦ διαφαινόμενον. Οὐ γὰρ ἐν μόνῳ τῷ συμμέτρῳ τῶν μερῶν μετὰ τῆς εὐχροίας (φησὶν ὁ *Πλωτῖνος*) ἐστὶ τὸ καλόν· οὕτω γὰρ (φησὶν) ἁπλοῦν οὐδὲν ἔσται καλὸν μὴ συμμετρίαν ἔχον μορίων. Τὸ δὲ τῷ λόγῳ συμμέτρως ἐπιφαίνεσθαι τὸ εἶδος ἐν τῇ ὕλῃ, τοῦτο ποιεῖ τὸ καλόν· διὸ τὸ καλὸν ἀρέσκει διὰ τὸ διαλάμπον εἶδος ὑπὸ τοῦ νοῦ τοῦ συγγενοῦς εἰσορώμενον. Ὀρθῶς ἄρα καὶ καλῶς ὁρίζεται τὸ καλὸν *Ἀριστοτέλης*[1] «*τὸ δι' αὐτὸ αἱρετόν*»· ἀρέσκει γὰρ ἑαυτοῦ τ. ἕ. τοῦ εἴδους ἕνεκεν, ἀλλ' οὐ τοῦ χρησίμου. Εἰ δ' ἀμβλὺς ὁ νοῦς ἢ φύσει ἢ δι' ἀπαιδευσίαν ἢ μὴ νήφων ὑπὸ πάθους, ἔρωτος, μίσους ἢ φθόνου, χαίρει μὲν ἔστιν ὅτε τῷ μὴ καλῷ, δυσαρεστεῖ δὲ καὶ τῷ καλῷ· διὸ καλῶς ὁ ποιητὴς ὡς καλὰ πολλάκις ὁ ἔρως τὰ μὴ καλὰ ποιεῖ φαίνεσθαι[2]· δοκεῖ δὲ καλῶς εἰρῆσθαι καὶ τὸ παρ' Ἰταλοῖς: non è bello quel che è bello, ma è bello quel che piace[3]· ἀνάλογον δὲ τούτου καὶ τὸ *Σάδίου* τοῦ πάνυ:

«هر چه دردل فرود آید درديده نكو نماید»[4]

καὶ τοῦ αὐτοῦ τετράστιχον ἄλλο:

«کسی بدیدهٔ انکار اگر نگاه کند
نشان صورت یوسف دهد بناخوبی
وگر بچشم ارادت نظر کند درديو
فرشته ایش نماید بچشم کروبی»[5]

Διαφαινόμενον δὲ κατὰ βαθμοὺς ἐν τοῖς αἰσθητοῖς τὸ εἶδος τὴν ἀξίαν ἀποτελεῖ τῶν καλῶν ἑκάστου· οὐ γὰρ ὁμοίως πάντα καλά, τὴν αὐτὴν ἀξίαν ἔχοντα, καθάπερ *Ἀρίστιππος*[6] ἔλεγε περὶ τῶν ἡδονῶν ὡς οὐδὲν ἀλλήλων διαφέροιεν· καλόν τι γὰρ καὶ τοῦ φωτὸς ἁπλῶς ἕνεκα κατὰ *Πλωτῖνον*[7], οἷον ἥλιος ἢ σείριος ἢ τὸ βόρειον σέλας (ἔστι δὲ καλόν τι καθ' ἑαυτὸ καὶ τὸ φῶς ἁπλῶς ἅτε λόγος τις ὤν, ὁ δὲ λόγος νοῦς), καὶ τῆς χρόας οἷον πῦρ ἢ λειμὼν ἢ χρυσὸς[8] ἢ λίθος, καὶ τῆς στερρότητος ἁμ' ἐκείνοις, οἷον ἀδάμας, καὶ τοῦ μεγέθους, οἷον ὄρος ἢ πλάτανος· ὁ δὲ λίθος καλλίων ὁ γλυπτός, ὧν ἁμῇ γέ πη μέτοχος εἴδους, οἷον ὑδρία, κίων, ὁ δὲ χρυσὸς χαριέστερος εἰργασμένος, οἷον ἔκπωμα, φιάλη, στέφανος, ἅτε πρὸς τῇ χρόᾳ μετέχων ἰδέας· ἔτι δὲ μᾶλλον ὁ φυτοῦ τινος ἢ ζῴου παριστὰς

1. 37C: Ὡς δὲ κινηθὲν αὐτὸ καὶ ζῶν ἐνόησε τῶν ἀϊδίων θεῶν γεγονὸς ἄγαλμα ὁ γεννήσας πατὴρ ἠγάσθη τε καὶ εὐφρανθεὶς ἔτι δὴ μᾶλλον ὅμοιον πρὸς τὸ παράδειγμα ἐπενόησεν ἀπεργάσασθαι.
2. Ψαλμ. 104, ιδ' καὶ Γέν.
3. Ἰωάνν. 3, 16.
4. Ῥητ. 2, 13.
5. Ἔνθεν ἐν Φαίδρῳ, Συμποσίῳ καὶ Πολιτείᾳ καὶ ἔνθεν ἐν Τιμαίῳ καὶ Φιλήβῳ.
6. Ἐνν. 1, 6.

1. Ῥητορ. 1, 9.
2. *Θεοκρ.* Εἰδ. 6, 18 καὶ 19:
ἦ γὰρ ἔρωτι,
πολλάκις, ὦ *Πολύφαμε*, τὰ μὴ καλὰ καλὰ πέφανται.
3. *A. Alfani* Proverbi, p. 4.
4. Ῥοδών, κεφ. 5 ἐν ἀρχῇ.
5. Αὐτ.
6. *Διογ. Λαέρτ.* 11, 87 καὶ *Πλάτ.* Φίληβ. 12 D.
7. Ἐνν. 1, 6 καὶ 12, 5.
8. Ἐκ τῆς χρόας, ὡς ἔοικεν, ἐκλήθη τὸ μέταλλον, ὡς εἰκάζει *Κούρτιος*· ἰδ. *Γ. Κουρτίου* Ἑλλ. Ἐτυμολογίαν ἐν. λ. *χρυσός*. Οὕτω δὲ καὶ ἐν τῇ σανσκρίτῃ πρὸς ἄλλοις ὀνόμασι τὸ μέταλλον ἔχει καὶ τὸ *suvarnam*=εὔχρουν.

ὁμοίωμα καὶ καθόλου τὸ ἐντελεχείᾳ κάλλιον ἢ τὸ δυνάμει. Ἔστι γὰρ εἶδος, οὖσα τέλος, ἡ ἐντελέχεια· τὸ γὰρ τέλος εἶδός ἐστι, κατ' *Ἀριστοτέλη*[1].

Εἰσὶ δὲ τῶν εἰδῶν αἰσθητὰ τὰ μὲν ὄψει, τὰ δ' ἀκοῇ, κἀκεῖνα μὲν ἐν ἠρεμίᾳ ἢ κινήσει, τὰ δὲ τῆς ἀκοῆς ἐν κινήσει πάντα, λόγοι καὶ τόνοι καὶ μέλη· διὸ καὶ αἱ τέχναι αἱ μὲν ἐν ἠρεμίᾳ τὰ τῶν εἰδῶν ὁρατὰ παριστᾶσιν οἷον *ἀρχιτεκτονική, γλυπτική, γραφική*· αἱ δ' ἐν κινήσει, οἷον *ὀρχηστικὴ* καὶ *παντομιμική*· ὅσαι δὲ τὰ τοῖς ὠσὶν ἀντιληπτὰ τῶν εἰδῶν ἐν κινήσει πάντα, *ῥητορική, ῥυθμική, μουσικὴ* καὶ *ποίησις*.

Ἔστιν οὖν ἡ ποίησις ὡς τέχνη κεχωρισμένη κατὰ *Πλάτωνα*[2] «μόριον ἀπὸ τῆς ὅλης ποιήσεως ἀφορισθέν, τὸ περὶ τὴν μουσικὴν καὶ τὰ μέτρα»· διορίζων ὅμως αὐτὴν ὁ φιλόσοφος οὕτως ἐσκόπει δῆλον ὅτι τὴν αἰσθητήν, ἐν ᾗ τὸ ποιούμενον παρίσταται, μορφὴν ἄνευ τῆς ὕλης, ἣν ἡμῖν ἀνάγκη προσθεῖναι τελειότητος ἕνεκεν ὁριστικῆς ὁριζομένους ὧδε: *ποίησίς ἐστι λόγος ἔμμετρος, τάξιν ἐμφαίνων ὄντων ἢ γενομένων ἢ ψυχῆς παθημάτων καὶ νοημάτων οἷαν ὁ ποιητὴς αὐτὸς ἐκόσμησε τῇ φαντασίᾳ τῆς ἀληθοῦς ἀμείνω καὶ τελειοτέραν*[3].

Κατὰ δὴ τῆς τῶν εἰρημένων τάξεως καὶ τοῦ ἐρρύθμου, ᾧ φράζεται, λόγου τὸ εἶδος εἰς ἔπος ἀνέκαθεν αὖτη διήρηται καὶ δρᾶμα καὶ λύραν. Ἐκ τούτων οὖν ἐροῦμεν, ὡς προϋπεσχόμεθα, βραχέα περὶ ἕπους, ἀνασκοποῦντες, ὡς εἰκός, τὰς ἐν ἡμῖν θυμικὰς ἐνεργείας, αἷς καὶ συνῆφθαί πη δοκοῦσι τὰ τῆς ποιήσεως εἴδη.

Αἱ τοίνυν ἐνέργειαι παρίστανται καθόλου τρισσαί· α') *αἴσθησις*, β') τὸ *συνειδὸς* ἢ *συναίσθησις* (μεθ' ἡδονῆς ἢ λύπης), γ') *βούλησις*. Ὁποία μὲν οὖν ἑκάστη τούτων ὑποτιθέμεθα προμεμαθημένον. Εἰ δέ τις εἰς αὐτὰς ἀναφέροι τὰ τῆς ποιήσεως εἴδη, τῆς αἰσθήσεως οἰκεῖον εἶναι δοκεῖ τὸ ἔπος, ἧς ἡγουμένης φύσει καὶ καθόλου τῶν ἄλλων, ἡγήσατο δῆλον ὅτι καὶ τὸ ἔπος τῶν ἑτέρων δυοῖν ἕνθα κατὰ φύσιν ἡ τῆς ποιήσεως ἐγένετο βλάστησις, οὕπω τῆς νοήσεως ἀκμαζούσης. Ὅθεν ὁ χαρακτὴρ ὁ τοῦ ἔπους, παιδικὴν ἐν πολλοῖς ἐμφαίνων ἁπλότητα καὶ σαφήνειαν, ἐξ ὧν αἱ ἐν αὐτῷ μέχρι κόρου πολλάκις ἐπαναλήψεις. Ἐπεὶ δ' ἡμῖν ἐστι κυριωτάτη μὲν αἴσθησις ἡ τῆς ὁράσεως[1], ἐχομένη δ' ἐκείνης ἡ τῆς ἀκοῆς, ὧν οἱονεὶ συνέχειά τις ἀσθενὴς ἡ φαντασία, διὰ ταύτης, ἀκμαιοτέρας οὔσης, εἰκότως ἐν τῇ νεότητι τοῦ γένους ὥσπερ ἐν ἑκάστῳ κατὰ τὴν ἥβην, ὁ ἐποποιὸς ἐναργῶς ὡς οἷόν τε παρίστησιν ἑαυτῷ καὶ τοῖς ἄλλοις ἣν αὐτὸς κατ' ἐπίπνοιαν ἐπενόησε τάξιν ὄντων ἢ γενομένων οἷον ἐν χώρῳ καὶ χρόνῳ.

Οὖσα δὴ τῶν αἰσθητῶν ἡ ἐποποιία καθόλου μιμητική, τῶν ἀνθρωπίνων (ὥσπερ καὶ τὸ δρᾶμα· τὰ γὰρ αὐτὰ μιμούμενα τῷ δι' οὗ διαφέρουσι καὶ τῷ τρόπῳ)[2] κατ' ἐξοχὴν ἀντέχεται πράξεων ὅσαι μὴ κοιναὶ μηδὲ συνήθεις, ἀλλ' ἐξαίρετοι καὶ σπάνιαι καὶ θαυμασταὶ καὶ μέγα τῷ ὑπερόχῳ κινοῦσαι τὸ διαφέρον, ἡρώων οὖσαι θεοῖς ἢ δαίμοσι φίλων ἢ μισουμένων, ἀρωγοῖς ἢ πολεμίοις ἐκ τούτου παριστάμενοι· οἱ γὰρ ἄνθρωποι φιλοῦσι φύσει τὸ θαυμαστὸν[3] διὰ τὸ πέρα τοῦ (κοινῇ νομιζομένου) δυνατοῦ καὶ συνήθους ὂν ἐπιθυμίαν ἐνιέναι τῇ καινότητι τοῦ μανθάνειν ὅ τι τοῦτο καὶ ποῖον· ἡδὺ δὲ καθόλου τὸ μανθάνειν[4]· διὸ καὶ τὸ θαυμαστόν· τὰ δὲ συνήθη καὶ καθ' ἡμέραν (οἷον ἡλίου καὶ σελήνης ἐπιτολαὶ καὶ ὑετοὶ καὶ διοσημεῖαι καὶ τελεταὶ καὶ πανηγύρεις) ἀδιάφορα τῷ χρόνῳ καθίστανται καὶ καλά περ ὄντα.

Τὸ δὴ θαυμαστὸν αὐτὸς εἰδέναι μὴ δυνάμενος ὁ ποιητής[5], ἡμιθέων ἢ θεῶν ἢ δαιμόνων ἔργον ὑπάρχον, ἀληθῶς αἰσθάνεται λαλοῦντος ἐν ἑαυτῷ τοῦ θείου, οὗ τὴν ἐπίπνοιαν ἀρχόμενος, ἔστι δ' ὅτε καὶ μεταξὺ διηγούμενος, ἐπικαλεῖται σπουδάζων[6], ἀφηγεῖσθαι δ' οὕτω δοκοῦντος ἐκείνου, διατελεῖ μένων αὐτὸς ἀφανὴς ὡς ὄργανον ἁπλοῦν ὑπ' ἐκείνου φορούμενον. Ὅθεν ἐλάσσων ἐν τοῖς ἔπεσιν ἡ

1. Ἔστι δ' ἡ τοῦ χρυσοῦ τῶν χροῶν ὁμολογουμένως ἡ καλλίστη.
2. Συμπ. 205 C.
3. *Ἀριστ.* Ποιητ. IX, 1 «Ὁ γὰρ ἱστορικὸς καὶ ὁ ποιητὴς οὐ τῷ ἢ ἔμμετρα λέγειν ἢ ἄμετρα διαφέρουσιν, ... ἀλλὰ τούτῳ διαφέρει, τῷ τὸν μὲν τὰ γενόμενα λέγειν, τὸν δὲ οἷα ἂν γένοιτο· διὸ καὶ φιλοσοφώτερον καὶ σπουδαιότερον ἱστορίας ἐστὶ ποίησις· ἡ μὲν γὰρ ποίησις τὰ καθόλου μᾶλλον, ἡ δ' ἱστορία τὰ καθ' ἕκαστον λέγει»· πρόλ. καὶ Ποιητ. ΙΕ', 2.

1. Ἀριστοτ. περὶ ψυχ. Γ', 3.
2. Ἀριστοτ. Ποιητ. Γ', Ε', ΚΔ'.
3. Ἀριστοτ. Ῥητ. Γ', 2, 15.
4. Αὐτ. Γ', 10. Ποιητ. Α καὶ Φιλοσοφίας πρώτης Α ἐν ἀρχῇ.
5. Ἰλ. Β, 486: αὐτοὶ δὲ κλέος οἷον ἀκούομεν οὐδέ τι Φίδμεν.
6. Ἰλ. ἐν ἀρχ., Ὀδ. ἐν ἀρχ., *Οὐιργ.* Αἰν., *Οὐϊδ.* Μεταμορφ. *Ὀππ.* Κυνηγ., Ἰλ. Β 484 κξ.

διανόησις, ἐκ δὲ τούτου καὶ ἡ ἑνότης ἡ ἐν ταῖς ᾠδαῖς. Ἐστὶ δ' ἡ τοῦ ἔπους ἑνότης ὥσπερ ἡ τοῦ δράματος οὐκ ἐν τῷ περὶ ἑνός, *Ὀδυσσέως ἢ Θησέως*, τὴν ἀφήγησιν εἶναι· «πολλὰ γάρ, ὡς *Ἀριστοτέλης*, φησί, «καὶ ἄπειρα τῷ ἑνὶ συμβαίνει, ἐξ ὧν ἐνίων οὐδέν ἐστιν ἕν» ἀλλὰ περὶ *μιᾶς* ἐκείνου πράξεως, ὅλης τε καὶ τελείας· ὅπερ ὁρᾷ τις ἐν τοῖς Ὁμηρικοῖς ποιήμασιν, ἐπαινουμένοις ὑπ' *Ἀριστοτέλους* ἐπὶ τούτῳ [1]. Ἡ δὲ μία πρᾶξις, οὖσα βραχεῖά τις, ὡς εἰκός, ἐπεκτείνεται τοῖς ἐπεισοδίοις, ἥτοι μέρεσιν οἰκείοις ὁμοῦ περαινομένοις [2], ἃ τὸ πρέπον ἔχοντα μέγεθος συνάπτει τῇ πράξει τὸ ἐν ἑνὶ συμβῆναι χώρῳ καὶ χρόνῳ ποικίλα περ ὄντα. Ἐκ δὲ τούτων αὐξομένου τοῦ ὄγκου, μεγαλοπρεπές τε τὸ ἔπος γίνεται καὶ τερπνόν, εἰς ὃ συντελοῦσιν ἔτι λέξεις καὶ σχήματα λέξεών τε καὶ διανοίας, ἰδίᾳ δ' αἱ μεταφοραί [3], καὶ τούτων οὐκ ἔλασσον αἱ παραβολαί, δι' ἧς ἐπιχέουσι τῷ λόγῳ σαφεῖ περ ὄντι σαφηνείας ἔτι μείζονος καὶ ποικιλίας μετὰ χάριτος, καί περ αὗται (παρὰ γοῦν *Ὁμήρῳ*) τοῦ μέτρου πέρα πολλάκις ἐκτεινόμεναι· δεῖ μέντοι μὴ πέρα τοῦ μετρίου τῷ ἔπει μέγα γενέσθαι τὸ μῆκος, ἀλλ' εὐσύνοπτον εἶναι τῇ μνήμῃ καὶ ῥᾳδίως αὐτοῦ τὸν ἀκούοντα θεωρεῖν ἀρχήν τε καὶ μέσον ὥσπερ ζῴου καὶ τέλος [4].

Τὸ δὲ μέτρον ἡρέθη τοῖς ἐποποιοῖς, ἀρχαίοις τε καὶ νεωτέροις, ἀεὶ τὸ οἰκεῖον καὶ τῷ σεμνῷ τοῦ ποιήματος ἁρμόττον, αὐτῆς, ὡς *Ἀριστοτέλης* φησί [5], τῆς φύσεως εὑρούσης ἐκείνοις μὲν τὸ ἡρῳϊκόν, ὀγκωδέστατον ὂν καὶ στασιμώτατον [6] καὶ παρὰ τοῖς Ἀρίοις Ἰνδοῖς ὁ σλόκος [7], ἐκ τεσσάρων συγκείμενος ὁκτασυλλάβων μερῶν, ὧν ὁμοῦ τὰ δύο γραφόμενα στίχον ἕνα δοκοῦσιν ἀποτελεῖν ἑκκαιδεκασύλλαβον· τῶν δὲ νεωτέρων τοῖς μὲν ἐκ Περσίδος τὸ βακχειακόν [8], ἐξ ἕνδεκα συλλαβῶν, ὀγκῶδες ἐπίσης, Ἰταλοῖς δὲ καὶ Γαλάταις ὁ δωδεκασύλλαβος. Ὁ δὲ τοιοῦτος ἐν πᾶσι ῥυθμὸς χωρεῖ διὰ τέλους ὁ αὐτὸς ἀναλλοίωτος, τοῦ ποιητοῦ μέν, ὡς ἁπλοῦ δοχείου τῆς ἀφηγήσεως, μένοντος ἀπαθοῦς, τῶν δὲ στίχων, ὥσπερ ἐν τῷ μύθῳ τῶν γενομένων ἢ πράξεων, ὁμοτόνως ἀλλήλοις ἀκολουθούντων. Ἔλαβε μέντοι παρὰ τοῖς νῦν Εὐρωπαίοις λυρικώτερον ὡς τὰ πολλὰ χαρακτῆρα τὸ ἔπος, ἐξ οὗ καὶ τὸ εἶδος, ᾧ περιβάλλεται, τὸ στροφικόν. Εἴλοντο δὲ διὰ τὸ σεμνὸν ἐκ τῶν ἀρχαίων τὸ τοιοῦτο μέτρον ὅσοι τῶν φιλοσόφων ἐδίδαξαν ἐμμέτρως, ὥσπερ *Ἐμπεδοκλῆς* καὶ *Ξενοφάνης* καὶ *Παρμενίδης*, ὧν αἱ ποιήσεις ἔχουσιν ἄλλο τῇ *Ὁμήρου* κοινὸν οὐδὲν εἰ μὴ τὸ μέτρον [1].

Εἰσὶ δὲ τοῦ ἔπους εἴδη καὶ παραφυάδες ἔνθεν αἱ παρῳδίαι παρὰ τοῖς ἀρχαίοις καὶ οἱ σίλλοι καὶ ἔνθεν οἱ *Ἀρχιλόχου* τροχαῖοι καὶ ἴαμβοι, δι' ὧν, κινητικωτέρων ὄντων [2], ἀποβαλὸν αὐτοῦ τὸ μεγαλοπρεπὲς καὶ τὸ σεμνὸν ἐπλησίασε τῇ κοινῇ διαλέκτῳ. Ἀνὰ δὲ χρόνον ἐγένετο καὶ ἐν τῇ ποιήσει, καθάπερ ἐν τῇ φιλοσοφίᾳ, μετάβασις ἀπὸ τῶν ἔξω πρὸς τὰ ἔσω, τ. ἔ. ἀπὸ τῆς ἀφηγήσεως γενομένων ἢ πράξεων εἰς ἐκδήλωσιν ἰδίων τοῦ ποιητοῦ διανοημάτων ἢ ψυχῆς παθημάτων, ἤτοι τὸ λυρικὸν τῆς ποιήσεως εἶδος καὶ τὸ μικτὸν ἐξ ἀμφοῖν, τὸ δρᾶμα, πρὸς ὃ τὸ ἔπος ἔχει κοινόν, ὥσπερ εἴρηται, τόν τε μῦθον, ἁπλοῦν ἢ πεπλεγμένον, ἤτοι δέσιν ἔχοντα καὶ λύσιν ἀναγνωρίσεις τε καὶ περιπετείας ἢ τοὐναντίον ἀμοιροῦντα τούτων, καὶ τὸ διανοίας καὶ λέξιν ἔχειν καλῶς κατ' *Ἀριστοτέλη* [3]· διαφέρουσι δὲ τῷ τε μήκει καὶ τῷ μέτρῳ [4] καὶ τῷ τὰ μὲν ἐν τῷ ἔπει τοῖς ὡσὶ καὶ τῇ φαντασίᾳ μόνοις ὡς *γενόμενα*, τὰ δ' ἐν τῷ δράματι καὶ τοῖς ὄμμασιν ὡς *τελούμενα νῦν* εἰς τὸ συνειδὸς εἰσιέναι.

Ἔστι δὲ καὶ ἕτερόν τι παρ' ἐκείνοις εἶδος, μικτὸν ἐξ ἀμφοῖν, ἔπους καὶ λύρας, ἔχον δ' ἐπικὸν τὸ μέτρον, ἔστι δ' ὅτ' ἐλεγειακόν, τὸ βουκολικόν· ᾧ τῷ μὲν ἔπει κοινὸν ὑπάρχει τὸ ἀφελὲς καὶ τὸ τοῦ λόγου φυσικόν, ὕψους μὲν ἀμοιροῦν, ἀπαλότητι δὲ καὶ χάριτι πρέπον, τῇ δὲ λύρᾳ τὸ δηλωτικὸν παθημάτων, ἅπερ ἄδουσι πρὸς ἀλλήλους οἱ ποιμένες. Ἔχει δ' ἅμα καὶ τὸ δραματικόν, διαλεγομένων ὥσπερ ἐν τῷ δράματι καὶ δρώντων. Ὅθεν ἐστί τι μεταξὺ τῶν ἐπῶν, ἀρχαίου καὶ νεωτέρου, λυρίζοντος, ὥσπερ εἴρηται.

Τὰ βραχέα ταῦτα παραθέντες ὑμῖν, εὐμενεῖς ἀκροαταί, συγγνώμην αἰτούμεθα τὴν ὑμετέραν χάριν, εἴ τι μὴ πάνυ καλῶς ἐστι τὸ σύνολον εἰρημένον, ἀναπληρώσειν ὕστερον ὑπισχνούμενοι τὸ ἐλλεῖπον.

1. Ποιητ. Η'.
2. Αὐτ. ΚΔ'.
3. Ῥητ. 3, 2: δύναται πλεῖστον ἡ μεταφορὰ καὶ ἐν ποιήσει καὶ ἐν λόγοις· καὶ κατωτέρω: τὸ σαφὲς καὶ τὸ ἡδὺ καὶ τὸ ξενικὸν ἔχει μάλιστα ἡ μεταφορά.
4. *Πλάτ.* Φαίδρ. 264 C: «δεῖ πάντα λόγον ὥσπερ ζῷον συνεστάναι — μέσα τε ἔχειν καὶ ἄκρα πρέποντ' ἀλλήλοις καὶ τῷ ὅλῳ». *Ἀριστοτ.* Ποιητ. Ζ'.
5. Ποιητ. ΚΔ.
6. Αὐτ.
7. Ἐν τῷ Μαχαφαράτῳ ἰδ. *Βοπ.* Nal. Præf. VI κξ.
8. Ἐν τῇ *Φιρδευσίου Βίβλῳ βασιλέων* (شاهنامه), ἐν τῇ *Νιζαμίου Ἀλεξανδρίδι* (اسكندرنامه), ἐν τῷ *Σαδίου Κήπῳ* (بوستان) καὶ ἐν ἄλλοις.

1. *Ἀριστοτ.* Ποιητ. Α, 2.
2. Αὐτ. ΚΔ' «τὸ ἰαμβεῖον καὶ τὸ τετράμετρον κινητικά· καὶ τὸ μὲν ὀρχηστικόν, τὸ δὲ πρακτικόν».
3. Ποιητ. ΚΔ'.
4. Αὐτ. Ε': ἡ ἐποποιία τῇ τραγῳδίᾳ μέχρι μόνου μέτρου — ἠκολούθησεν· — ἔτει δὲ τῷ μήκει· ἡ μὲν γὰρ ὅτι μάλιστα πειρᾶται ὑπὸ μίαν εἶναι περίοδον ἡλίου, ἡ δ' ἐποποιία ἀόριστος τῷ χρόνῳ· — ἃ μὲν ἐποποιία ἔχει ὑπάρχει τῇ τραγῳδίᾳ, ἃ δ' αὐτὴ οὐ πάντα ἐν τῇ ἐποποιίᾳ.

ΚΩΔΙΞ ΤΟΥ ΙΗ' ΑΙΩΝΟΣ ΚΑΤΑ ΠΡΟΙΚΟΔΟΣΙΩΝ

ΕΝ ΤΗι ΙΕΡΑι ΜΗΤΡΟΠΟΛΕΙ ΠΑΡΑΜΥΘΙΑΣ

ΚΑΙ

ΙΣΤΟΡΙΚΑΙ ΤΙΝΕΣ ΕΞ ΑΥΤΟΥ ΣΗΜΕΙΩΣΕΙΣ

ὑπὸ

Δ. Α. ΠΑΝΑΓΙΩΤΙΔΟΥ, ἰατροῦ

Ἀνεγνώσθη ἐν τῇ ΑΣΟΓ' συνεδρίᾳ τῆς 3 Μαρτίου 1897.

Α'

Πολλαὶ κατεβλήθησαν ἐνέργειαι ὑπὸ τοῦ Γένους κατὰ τοὺς τελευταίους αἰῶνας πρὸς περιορισμὸν τῆς πολυτελείας, καὶ ἰδίως τῶν προικοδοσιῶν· ἐν τῇ πρώτῃ δὲ θέσει μεταξὺ τῶν κοινοτήτων, αἵτινες ἐθεώρησαν ἀνάγκην ἀπόλυτον ν' ἀντιστρατευθῶσι πρὸς τὴν τάσιν τῆς ματαίας καὶ καταστρεπτικῆς ἐπιδείξεως ταύτης, ὁμολογουμένως ἡ τῶν Ἰωαννίνων κοινότης ἐστίν. Ὁ κ. *Μ. Γεδεὼν* πολλὰ ἔγραψε περὶ τούτου καὶ ἐν γένει περὶ τῶν ὁμοίων ἐνεργειῶν, οὐ πρὸ πολλοῦ δὲ καὶ ἕτερον ἔγγραφον κατὰ προικοδοσιῶν ἔφερεν εἰς φῶς διὰ τῆς «*Φιλολογικῆς Ἠχοῦς*» τὸ Πατριαρχικὸν γράμμα *Ἀνθίμου* τοῦ ἀπὸ Κυζίκου, ἀποστελλόμενον (1841) πρὸς τοὺς Νικομηδεῖς καὶ καταργοῦν τὸ τῶν προικοδοσιῶν κάκιστον ἔθιμον.

Ἐν τούτοις εἰς τὴν πάλην ταύτην δὲν ἔμεινεν ἀμέτοχος κατὰ τὸν παρελθόντα αἰῶνα ἡ παρὰ τὰ Ἰωάννινα Μητρόπολις Παραμυθίας καὶ Φιλιατῶν, ἥτις ἦν τότε ἐπισκοπὴ τοῦ Ἰωαννίνων. Καταδείκνυται τοῦτο ἐκ τοῦ ἐν τῇ ἱερᾷ ταύτῃ μητροπόλει ἐναποκειμένου Κώδικος, ὃν τελευταίως ἀνεύρομεν, καὶ ὃς ἐγένετο κατὰ τὸ 1792 Δεκεμβρίου 27, τῇ αἰτήσει τῶν προκρίτων τῆς πόλεως Παραμυθίας ὑπὸ τοῦ ἐπισκόπου *Ἀνθίμου*.

Ὁ Κῶδιξ οὗτος ἐκ φύλλων μεγάλου τετάρτου ἀγράφων μὲν πολλῶν, γεγραμμένων δὲ μόνον τῶν ἐν ἀρχῇ δέκα καὶ τεσσάρων καὶ ἐξ ἀρχῆς μὲν ἄδετος, μετὰ ταῦτα δὲ ἁπλῶς δεθεὶς καὶ περικοπεὶς τὰ πέριξ, περιέχει μετὰ τὰ ἄρθρα αὐτοῦ διάφορα προικοσύμφωνα κατὰ χρονολογικὴν σειράν, ἐξ ὧν φαίνεται ὅτι σὺν τῷ χρόνῳ ἤρχισαν αὖθις νὰ παραμελῶνται αἱ κατὰ προικοδοσιῶν διατάξεις του καὶ νὰ μὴ ἔχωσιν ἰσχὺν αἱ ἀραί, αἱ ἐκσφενδονηθεῖσαι ἐν τέλει κατὰ παντὸς παραβάτου. Ὡς ἐκ τούτου βραδύτερον παρέστη ἀνάγκη, ἵνα καὶ ἑτέρα ὑπόμνησις γένηται ἐν αὐτῷ τῷ Κώδικι κατωτέρω· καὶ οὕτως ὁ ἐπίσκοπος *Ἀγάπιος* κατ' Αὔγουστον τοῦ 1827 κατεχώρισεν ἐν σελίδι 19ῃ τὴν «Σαρεστέραν ἔκθεσιν τῶν ὄπισθεν κατεστρωμένων περὶ προικῶν Κεφαλαίων χωρὶς τὴν παραμικρὰν προσθήκην ἢ ἐλάττωσιν», ἐν ᾗ συγχωρεῖ τοὺς πρότερον τυχὸν φανέντας ἀπειθεῖς καὶ ποιήσαντας καινοτομίας καὶ προσθήκας εἰς τὰ προικεῖα τῶν τέκνων των, καὶ προσκαλεῖ εἰς τὸ ἑξῆς τοὺς πάντας νὰ συμμορφωθῶσι πρὸς τὴν «Σαρεστέραν ταύτην ἔκθεσιν», περιέχουσαν ἑπτὰ

κεφάλαια, ἄτινά εἰσιν ἀπαράλλακτα πρὸς τὰ τοῦ *Ἀνθίμου*, χωρὶς τινα νεωτερισμόν, ὡς προσθέτει καὶ αὐτὸς οὗτος, μόνον δὲ περὶ τὸ λεκτικὸν διαφέρουσιν.

Μεταφέρομεν ἐνταῦθα αὐτολεξεὶ καὶ μὲ ἣν ἔχουσιν ἀνορθογραφίαν τά τε πρῶτα ἄρθρα κατὰ προικοδοσιῶν καὶ τὴν «Σαφεστέραν ἔκθεσιν», σὺν ἄλλοις τισὶν ἐκ τοῦ Κώδικος τούτου, φρονοῦντες ὅτι ἐν τοῖς ἀρχείοις τοῦ γεραροῦ Συλλόγου ἡμῶν εἰσι μᾶλλον ἀσφαλῆ ἀπέναντι τοῦ πανδαμάτορος χρόνου.

Β΄

Ὁ παρὸν κόντι
κας τῆς καθ' ἡμᾶς ἐπαρχι
ας Παραμυθίας:

αψιϛ΄ Δεκεμβρίου κζ΄.

Καταστρόνεται ὁ παρὸν κόντηκας, τῆς καθ' ὑμᾶς ἐπισκοπεῖς παραμηθίας διὰ τὴν καλὴν κατάστασιν, τὸν σινηκέσιον καὶ διόρθωσιν τὸν πρηκίον.

Ἐπειδῆς καὶ νὰ γένοινται τὰ σινηκέσια ἄτακτα, καὶ ἀδηόρθοτα τὰ πρηκία· καὶ νὰ προξενίτε σύγχησιν καὶ ζυμίαν· ἀναμεσόντους μὲ τὴν κακὴν τάξιν, ὁποῦ πολητέβουνται ἔξω τοὺς νόμους τῆς ἐκκλησίας· καὶ ζυμιόνωνται εἰς ἀραβῶνας, καὶ εἰς γάμων· εἰς τὰ μαντήλια ὁποῦ δίδουνται καὶ βρακοπουκάμησα, ἀπὸ τὴν νύφην, καὶ ὁ γαμπρος εἰς τὴν ποδεμὴν ὁποῦ ἔστελνε πρὸς τὴν νύφην τὸν καιρὸν τοῦ γάμου· καὶ ἄλα πασκάτικα καὶ ἀποκρηάτικα, ὁποῦ ἔστελνε ὁ γαμπρὸς πρὸς τὴν νύφην. καὶ ἀπὸ τὴν νύφην ἔστελναν μαντίλη, καὶ πουκάμησω τοῦ γαμπροῦ· καὶ προξενοῦνταν ἀταξία τῆς ἐκκλησίας.

Καὶ διὰ νὰ λύψουν αὐτὰ τὰ ἄτοπα, ὁποῦ συγχίζουν τὸν νόμον τῆς ἐκκλησίας. διορήζεται ὁ παρὸν ἐκκλησιαστικῶς κόντικας τοπῶς νὰ γένοινται τὰ σινηκέσια, καὶ τί νὰ τάζοινται καὶ νὰ γράφεται τὸ προκοσύφωνον.

Διορίζει ἡ ἐκκλησιαστικὴ ἀπόφασις, τοὺς εὐσεβεῖς χριστιανούς, ἐδὼ παραμηθίας· νὰ δίξουν ὅλην τὴν ὑποταγὴν καὶ εὐπήθειαν. καὶ νὰ ποιήσουν ὄντας γίνεται κανένα σινηκέσιον, κάνωντας τὴν προξενίαν μὲ τὴν προσταγὴν τῆς ἐκκλησίας· εἰς τὸν καιρὸν ὁποῦ νὰ ἀλάζουνται τὰ δακτηλήδια νὰ κράζουν τὸν ἐφημέριον καὶ νὰ τὸν ἐρωτοῦν, διὰ νὰ μὴν γίνεται καννένα ἄλον τάξημον ἔξω τοῦ κόντηκος, καὶ πέσουν εἰς τὸν ἀφορεσμόν. καὶ ἡ πρότη σκάλα, νὰ πέρνει ἀπὸ μετριτὰ χηλιάδες τζουρούκηκες δέκα· καὶ ὄχι παραπάνου. καὶ ἡ ἐπίλυπει παρακάτου κατὰ τὸν ἄνθρωπον. καὶ τὰ ἀκόλουθα καθὼς ἀπερνοῦνται εἰς τὸν κόντικα, ὁποῦ γίνεται ἡ ἀρχί. καὶ ἐκεῖ ὁποῦ δίνεται τὸ μαντύλι τοῦ ἐφημέριου, νὰ δίδουν καὶ τοῦ προξενιτὴ μόνον διὰ τὸν κόπον ὁποῦ κάνει τὴν προξενίαν.

Καὶ αὐτὶ ἡ δίο νὰ πηγένουν, ἤγουν ὁ ἐφημέριος μετὰ τὸν προξενιτήν. διὰ νὰ ἀλάζουν τὰ δακτηλήδια, καὶ ὄχι ἄλος κανένας· μόνον αὐτὴ ἡ δύο νὰ πέρουν τὸ δακτιλίδη ἀπὸ τὴν νύφη, μὲ ἕνα μαντίλη καὶ τὸ προκοσύφωνον, νὰ τὰ δίδουν τοῦ γαμπροῦ. καὶ νὰ πέρνουν πάλιν ἤδιη, ὁ προξενιτὴς μὲ τὸν παπᾶ τὸ δακτηλίδη τοῦ γαμπροῦ. νὰ τὸ πηγένουν τῆς νύφης.

Κάνωντας ὁ ἐφημέριος τὸ προκοσύφωνων, καί συμηόνωντας μέσα τὰ ὅσα τάζουν τοῦ γαμπροῦ διὰ πρηκίον· ὅσον καὶ διὰ τὰ μετριτὰ καὶ σκουτικὰ καὶ χαλκόματα, καὶ ἄλα ὁποῦ περιλαβένουν· διορήζωμε διὰ τὰ μαντήλια καὶ βρακοπουκάμησα νὰ δίδουνται εἰς τὸν καιρὸν τοῦ γάμου μὲ τὴν ἐπήλιπην πρίκαν. μαντήλια δώδεκα, καὶ βρακοπουκάμισα τέσερα· τὰ ὁποῖα νὰ βάνουνται μέσα εἰς τὴν κασέλα καὶ ἀς τὰ δόσι ὁ γαμπρὸς ὁποῦ νὰ θελίσι. καὶ τὸ παρὸν πρηκοσύφωνον νὰ καταστρόνεται, εἰς τὸν κόντικα τῆς ἐκκλησίας εἰς ἔνδειξιν· καὶ ὄντας κατοστρόνεται τὸ πρηκοσίφονον νὰ δίδεται ἕνα μαντίλι διὰ τὴν εὐχὴν καὶ εὐλογίαν.

Ἤπαμαν διὰ τὰ πασκάτικα καὶ ἀποκρηάτικα, νὰ μὴν ὑμπορεῖ νὰ στέλνει ὁ γαμπρὸς πρὸς τὴν νύφην τὸ ἴδιον καὶ ἡ νύφη πρὸς τὸν γαμπρόν. καὶ εἰς τὸν καιρὸν τοῦ γάμου, ὁποῦ στέλνει ὁ γαμπρὸς τὸ συνή, μὲ τὰ φορέματα τῆς νύφης. ἡ ποδεμὲς νὰ μὴν δίνουνται, πάρεξ τὴν ποδεμὴ τῆς νύφης καθῶς εἶναι τὸ ἀτέτη καὶ ὄχι ἀλινοῦ:

Ἀκόμα νὰ κοπὴ καὶ ἐτούτη ἡ κακὴ συνήθεια, ὁποῦ εἰς τὸν καιρὸν ὁποῦ πέρνουν τὴν νύφη· τῆς βάνουν μαντήλια εἰς τὸν κόρφον, καὶ ἔπειτα τῆς βάνουν τὰ παιδιὰ εἰς τὰ γόνατα διὰ νὰ πάρουν τὰ μαντήλια, καὶ αὐτὰ ἀπὸ τὴν σήμερον νὰ μὴ ματαγίνουν.

Ὅσοι ἤθελαν ποιῆσουν καθῶς διορίζει ὁ παρὼν ἐκκλησιαστικῶς κόντικας. θέλει λάβει ἐκεῖνο τὸ ἀντρόγενον τὴν εὐλογίαν Ἀβραὰμ Ἰσαάκ, καὶ Ἰακώβ· θέλει εὐλογηθεῖ ὁ ἦκος τους, καὶ θέλουν λάβουν τεκνοποιΐαν, καὶ χάριν παρὰ Θεοῦ.

Ἠδὲ ὅποιος φανεῖ ἐνάντιος, καὶ ἀπειθὴς τῆς ἐκκλησίας καὶ εὔγει ἀπὸ τὸν παρὸν ἐκκλησιαστικὸν κόντικα· εἰς τὰ ὅσα σημιόνωμε καὶ θέλει γένει καννένα σινηκέσιον, δίχως τὴν τάξιν τοῦ κόντηκος, θέλει λάβει τὰς ἀρὰς καὶ ἀφορεσμοὺς τῆς ἐκκλησίας καὶ προκοπὶν νὰ μὴ εἰδοῦν· νὰ πληρόνουν καὶ στὸ βαλὶ τοῦτο που γρόσια πεντακόσια: 500:

Ἐθεορίθη ὁ παρὸν κόνδικας
τῆς καθ' ἡμᾶς ἐπισκοπῆς

† ***Παραμυθίας Ἄνθιμος βαιβεοί:***
πρωτοπαπα Ἀθανάσιος βαιβεῷ·
ἔξαρχος δημήτριος ρίζου βαιβεοί·
νανος νικολάου βαιβεοί·
θιοδοση... βαιβεονο
παναγίοτις τοῦ βασιου βεβιονι
φιλαχθος του ριζου βεβεόνο,
κοστα τασις βιβιονο.
ταση πανος τζασιλα βεβεονο·
θανασι δημητρηου βεβεονο·
θεοδωρίς... πενο βαιβεοί·
στογης ηουανου βιβιονο.
αναστασης ηουανου βεβεονο
ῥιζος Θεοδώρου βαιβεοοί
«καὶ ἐποιλιποι»

Μετὰ τὰς πρώτας διατάξεις ταύτας, αἵτινες κατέχουσι τὰς τρεῖς πρώτας σελίδας τοῦ Κώδικος, ἀκολουθοῦσιν ἀπὸ τῆς 5ης σελίδος μέχρι τῆς 19ης τριάκοντα καὶ τέσσαρα διάφορα προικοσύμφωνα, ἐξ ὧν μεταφέρομεν ἐνταῦθα τὸ 1ον καὶ τὸ 34ον αὐτολεξεὶ καὶ ὡς ἔχουσι:

πρηκοσιφονον τῆς ξανθης θηγάτηρ φήλη
σαματζὶ τοῦ νάστου σαματζὶ

παντρεβο ἐγὸ ὁ φήλης τὴν φηλτάτι μου θηγάτηρ ὀνόματη ξάνθη καὶ δίδο αὐτην διανομημόντης ἄνδρα τὸν φήλακτον ἠὸν τοῦ νάτζου ἡς γάμον ᾶ καὶ τάζο αὐτῆς δια πρηκίον πρότον χηλιάδας εὐτά, δακτιλήδια δίο. σκουλαρίκια ζευγάρη ἑνα. μαντήλια δόδεκα. βρακοπουκάμησα τεσερα. στρόματα διο. παπλόματα δίο. σιντονια δίο. μαξιλάρες διο. προσκέφαλα διο. γιάμπολη μήα. κηλήμη ενα. τὴν κασέλα. σαγάνια τίσιρα. ἁπλάδες. δίο. τεψγά. δίο. ταντζυρέδες. δίο. το μπρηκολήγενο. πιρόστιες δίο καὶ ἡ μεσάλα καὶ το σουβλὴ καὶ φτηάρα.

αψιϛ φευβουαρι΄΄ κδ.

προτοπά΄ς ἀθανασιος ἐφημέριος βαιβεοῖ.

ὑπρανδρεύω ἐγὼ ὁ ἀναστασης τριανταφύλλου τὴν φιλτάτην μου θυγατέρα ζωήτζαν ἀνδρὶ νομίμω τῶ σωτήρη νικολοῦ μήτζη εἰς γάμον πρῶτον, δίδωντας χιλ: 10: καὶ τὰ ἀκόλουθα, κουμπιὰ ἀσημένια μπόγια δύο, δακτυλίδια τρία, σκουλαρίκια ζευγάρι :1: τοκάδες ἀσημένιες ζευγάρι 1: κασέλα μία. μανδήλια: 12: βρακοποκαμισα τέσσαρα, στρώματα δίω. παπλώματα 2, σεντόνια: 3: τὰ δίω κιντημένα καὶ ἓν γαλάζιον. 2: προσκέφαλα μὲ ταῖς προσκεφαλαριαίς, 2: γιάμπολλαις. 1: κιλίμη: 6: σαχάνια, 2: τεψιά, ἓν ἄσπρο καὶ ἓν μαῦρο: 2: τεντζερέδες μὲ τὰ καπάκια τους. 1: ἰμπρικολάγενον. 1: τιγάνι. 2: πιροστιαίς: 1: πεσκήρι. 1: σουβλί. :1: φτιάρα. ὁ δὲ κύριος δώσοι αὐτοῖς ζωήν.

1822 Ἰανουαρ.ῳ α΄
ἀναστάσιος ἱερεὺς καὶ ἐφημέριος
ὁ γράψας μαρτυρεῖ.

Ὁ Παραμυθίας Νεόφυτος.

Τὴν 19ην καὶ 20ὴν σελίδα κατέχει ἡ «Σαφεστέρα ἔκθεσις», ἥτις ἔχει οὕτως:

Ἔκθεσις σαφεστέρα, τῶν ὄπισθεν κατεστρωμένων περὶ προικῶν Κεφαλαίων χωρὶς τὴν παραμικρὰν προσθήκην ἢ ἐλλάτωσιν.

Α΄. ἡ πρώτη τάξις νὰ λαμβάνῃ εἰς Μετριτά, ἄσπρα, τζουρούκικα χιλιάδες δέκα Ν: 10000: καὶ τὰ ἀκόλουθα τῆς προικὸς ἀπὸ σκουτιὰ μπακήρια παπλώματα στρώματα, καὶ ἄλλα διάφορα, προαιρετικῆς ἀπὸ τοὺς γονεῖς καθῶς διαλαμβάνονται εἰς τὰ ὄπισθεν κατεστρωμένα προικοσύμφωνα.

Β΄. ὁ πατήρ, ἢ ἡ μήτηρ τῆς κόρης ἡ ὅστις ὑπανδρεύει θυγατέρα, ἢ ἀδελφὴν ἢ ἀνεψιάν, τὰ σωματικὰ φορέματα ὁποῦ θέλει τῆς δώσει, νὰ τὰ δίδῃ χωρὶς συμφωνίαν, ἀλλὰ προαιρετικῶς, τούτου ἕνεκεν ἐσιωπήθη ἡ ἔκθεσις αὐτή, καὶ εἰς τὰ ὄπισθεν ἀρχαία κεφάλαια, μένωντας εἰς τὴν προαίρεσιν τῶν γονέων ἢ συγγενῶν τῆς κόρης.

Γ΄. ἀφ' οὗ γίνει ἡ διὰ λόγου ὁμιλία, ἑνὸς ἀρραβῶνος ἀναμεταξὺ συγγενῶν, καὶ τοῦ συνηθισμένου προξένου, νὰ προσκαλεῖται ὁ ἱερεὺς ἀπὸ τὸ Μέρος τῆς νύμ-

φης, ὅστις πληροφορηθεὶς ὅτι δὲν ὑπάρχει καμμία δολιότης ταξίματος, ἢ ἄλλου εἴδους ἔξω τοῦ κώδικος, νὰ γράφῃ τὸ προικοσύμφωνον παρόντος καὶ τοῦ προξένου καὶ νὰ λαμβάνουν ὅ τε Ἱερεὺς καὶ ὁ πρόξενος ἀνὰ ἓν Μανδήλιον λόγῳ τοῦ κόπου των.

Δ΄. ἐκδοθέντος τοῦ προικοσυμφώνου καὶ παρὰ τοῦ Ἱερέως Μαρτυρηθέντος, τὸ προικοσύμφωνον ὁμοῦ σὺν αὐτῷ καὶ ἓν μανδίλιον, καὶ τὸ δακτιλήδιον τῆς νύμφης, νὰ τὰ λαμβάνει εἰς χεῖρας του ὁ Ἱερεὺς μετὰ τοῦ προξένου καὶ νὰ τὰ πηγένουν τοῦ γαμβροῦ, παρ' οὗ νὰ λαμβάνωσιν ἕτερον δακτιλίδιον ἐδικόν του καὶ νὰ τὸ πηγένουν τῆς νύμφης.

Ε΄. τὰ Μανδίλια καὶ Βρακοπουκάμισα ὁποῦ προσφέρει ἡ νύμφη νὰ βάνονται εἰς τὴν καρσέλα της. Μανδήλια δώδεκα καὶ βρακοπουκάμισα, τέσσαρα, καὶ ὁ γαμπρὸς ἂς τὰ δώσῃ ὅθεν θέλει.

Ϛ΄. ὁ γαμβρὸς κατὰ τὴν συνήθειαν τὰ προαιρετικὰ φορέματα τῆς νύφης ὁποῦ στέλει εἰς τὸν καιρὸν τοῦ γάμου, νὰ τῆς στέλνῃ καὶ ἓν ζευγάρι παπούτζια αὐτῆς Μόνον.

Ζ΄. τὸ προικοσύμφωνον τοῦ κάθε συνοικεσίου ἐὰν δὲν καταστρωθῇ εἰς τὸν κώδικα τῆς ἐπισκοπῆς νὰ εἶνε ἄκυρον, καὶ ὅταν καταστρωθῇ λόγῳ κώδικος νὰ προσφέρουν ἓν μανδίλη μόνον.

:1827. κατὰ μῆνα αὔγουστον.

Τὰ ὄπισθεν ἑπτὰ κεφάλαια ὡς κατεστρώθησαν, εἶνε ἀπαράλακτα τῶν ἀρχαίων χωρίς τινα νεοτερισμόν, εἰς τὰ ὁποῖα ὑπόκεινται ἡ Χριστιανοὶ τῆς Πολιτείας ταύτης, κατὰ τὴν τότε καὶ τώρα θερμὴν αἴτησίν των νὰ τὰ φυλάξουν ἀδιάσυστα· ἐὰν ὅμως πρὸ τῆς δευτέρας αὐτῆς ἐκθέσεως ἐφάνησαν ἀπειθεῖς μερικοὶ κάμνωντας νεοτερισμοὺς καὶ προσθήκας, εἰς τὰ συνοικέσια τῶν τέκνων τους, διὰ πολλὰ αἴτια παραβλέπεται ἡ ἀταξία αὐτή. εἰς τὸ ἑξῆς ὅμως νὰ φυλάττηται ἀμεταθέτως ἡ τάξις αὐτὴ ἀρχομένη ἀπὸ τῆς πρώτης τάξεως τῶν πολιτῶν, μέχρι τῆς δευτέρας, τρίτης καὶ τετάρτης, Βαθμηδὸν τὰ προικεῖα κατὰ τὴν ἑκάστου δύναμιν, ἐὰν ὅμως ἀποδειχθῇ τινὰς παραβαίνων τὰ προρηθέντα, ἂς Ἰξεύρει ὅτι ὑπόκειται βαρυτάτῳ ἐπιτιμίῳ καὶ ἀρᾶς τῶν ἁγίων Πατέρων τῆς ἐκκλησίας, ὡς περιφρονητὴς τοῦ ἁοιδήμου προκατόχου μας κυρὶς Ἀνθίμου, καὶ τῶν τότε προκρίτων τοῦ εὐπρεποῦς τούτου συστήματος, καὶ παρ' ἡμῶν θέλει παιδευθεῖ ἐκκλησιαστικῶς βαρέως,....ἀποφαινόμεθα....τὰ δίκαια τῆς ἀνέκαθεν εὑρεθείσης συνηθείας τῆς καθ' ἡμᾶς ἐπισκοπῆς καὶ ὑποφαινόμεθα.

1827: Αὐγούστου: 4: πάραμυθία.

Ὁ Παραμυθίας Ἀγάπιος.

Ἀπὸ τῆς 21ης σελίδος μέχρι καὶ τῆς 27ης ἀκολουθοῦσι διάφορα ἄλλα προικοσύμφωνα, ὧν τὸ τελευταῖον φέρει χρονολογίαν *1848 Ἀπριλίου 17*, ἐποχή, καθ' ἣν περίπου ἀπέθανεν ὁ *Ἀγάπιος*, ὃν διεδέχθη ὁ ἀπὸ Τσεσμὲ Σμύρνης *Διονύσιος*.

Ἐκ τῶν δευτέρων προικοσυμφώνων τούτων, ὄντων ἐν συνόλῳ 15, μεταφέρομεν τὸ ἐν τῇ 22ᾳ σελίδι τῆς ἀδελφῆς τοῦ ἱστορικοῦ τῆς Ἠπείρου *Π. Ἀραβαντινοῦ*, καταγομένου ἐκ Πάργης (ἐκκλησιαστικοῦ τμήματος Παραμυθίας), καὶ τὸ τελευταῖον, ἔχοντα οὕτω:

Προικοσύμφωνον τῆς θυγατρὸς τοῦ Σταματέλου Ἀραβαντινοῦ παργίου.

Ἐγὼ ὁ αὐτάδελφος αὐτῆς Παναγιώτης ὑπανδρεύω αὐτὴν ἀνδρὶ νομίμῳ τῷ πέτρῳ σπύρου χαλκέως, καὶ δίδωμι αὐτῇ διὰ προικεῖον κατὰ τὴν ἐπικρατοῦσαν συνήθειαν τῆς πολιτείας παραμυθίας, ἄσπρα τζουρούκικα χιλιάδες δέκα Ν: 10000. καὶ τὰ ἀκόλουθα, δύο στρώματα, ἓν πάπλωμα, τέσσαρα σενδόνια, ἓν κιλίμη, δώδεκα ὑποκάμισα, ἓξ ροκέτα, ἓν κότολον, ἑπτὰ νταβέρσες, ἓν ζευγάρι σκουλαρίκια, ἓν βρακοπουκάμισον, μία κασέλα, τέσσαρα ἕτερα πουκάμισα, ἓν δακτυλίδι χρυσοῦν, ἓν σκουτί, ἓν κορδόνι τοῦ λαιμοῦ, ἕνα γελέκη, ἓν γελέκη ἕτερον δέκα μανδίλια. ταῦτα μὲ εὐχαρίστησίν μου δέδωκα αὐτῇ ὁ δὲ πλουσιόδωρος Θεὸς δώῃ ἀμφοτέρους ἑκατονταπλασίονα.

1832. Ὀκτωβρίου 14 παρ΄΄

Διονύσιος Ἱερομόναχος ἐφημέριος αὐτῶν γράψας μαρτυρῶ.

ὁ τοῦ ἁγίου Παραμυθίας Ἱεροδιάκονος Ἰωαννίκιος.

Προικοσύμφων΄΄ τῆς Βασιλικῆς θυγατρὸς γούλα Κίτση καλαριτιώτου.

ὑπανδρεύω ἐγὼ ὁ πατὴρ αὐτῆς Γεώργιος καὶ δίδωμοι αὐτὴ ἀνδρὶ νομίμῳ τὸν κύριον Κωνσταντὶ

τώλῃ στρούκαρη καλαριτιώτην καὶ δίδωμοι αὐτὴ εἰς προικεῖον τὰ κάτωθεν.

1: ἓν πάπλωμα μὲ γιωργάνη.....	γρ.	110:
1: μία γιάμπολη.....	»	100:
2: δύο στρώματα γιωμάτα.....	»	150:
1: ἓν κιλίμι.....	»	90:
1: χιράμι	»	20:
2: δύο μαξιλάρες γιωμάτες.....	»	40:
1: μία κεντημένη	»	30:
1: μία μαλίτικη.....	»	15:
1: ἓν σεντόνι.....	»	25:
1: ἓν ὅμοιον φράγγικο.....	»	10:
	»	590:
9: ἐνέα ὑποκάμισα λινοβάμπακα.....	»	180:
1: μία τζίπα λεμωμάνικον	»	40:
1: μία ὅμια κοντώτερη.....	»	10:
1: ἓν ἡμπικολέγενον	»	60:
1: σινή, ἓν ταψή, 2 ἁπλάδες. 6 σαγάνια	»	204:
1: ἓν τιγάνι πιρωστὰ ξίστρα.....	»	14:
1: ἓν δακτιλίδιον μάλαμα μὲ πέτρα..	»	100:
1: ἓν ζευγάρι σκουλαρίκια.....	»	30:
1: ἓν ζευγάρι τοκάδες γρ: 10.....	»	20:
1: ἓν καρφοβέλονον	»	10:
	»	1258:
1: ἓν λαιμομάνικον	»	50:
1: ἓν τζεβιρέν.....	»	10:
	»	1318:
1: μία φλωκάτα καλή.....	»	170:
1: μία φλωκάτα δεύτερη.....	»	130:
1: μία σαλταμάρκα ρούχινη.....	»	60:
1: ἓν φουστάνι καλῶν.....	»	200:
1: ἓν ὅμιον ἕτερον.....	»	70:
1: ἓν ἰντιάνα.....	»	25:
1: ἓν μιτάνη πέλον.....	»	16:
1: ἓν φουστάνι κοντῷ.....	»	16:
1: μία πωδιὰ κιζή.....	»	24:
2: δύο ἡποκάμισα ρέγγι κόκινο.....	»	32:
	»	743:
1: ἓν 2: τοκάδες χρυσομένες.....	»	276:
20: εἴκοσι κουμπιά.....	»	160:
1: ἓν μανδήλη μεταξωτον.....	»	25:
1: ἓν ἔτι μεταξωτόν.....	»	20:
1: μία κασέλα καρίτζινη.....	»	60:
2: δύο μανδήλια καλὲμ κεργιά.....	»	13:
1: ἓν φουστάνη κουτουνή	»	330:
1: κοντὼ πέλῳ.....	»	27:
1: μία πωδιὰ μεταξωτὴ μὲ χρισ.....	»	50:
1: κοζώκα.... ρούχινη.....	»	250:
	»	1954:
1: ἓν φέσι.....	»	50:
φλωριὰ εἰς αὐτήν.....	»	100:
	»	2104:

αὐτὰ δέδωκα αὐτῇ ὁ δὲ πλουσιόδωρος Θεὸς δώῃ αὐτοῖς ἑκατῶν τὰ πλασίωνα.

1848: ἀπριλίου: 17: Παραμυθιά.

ὁ τοῦ ἁγίου Παραμυθίας Ἱεροδιάκων Παρθένιος.

Γ΄

Καὶ ταῦτα μὲν ἐκ τοῦ Κώδικος περὶ καὶ κατὰ προικοδοσιῶν. Ἀλλ' ἡ Μέση Ἱστορία τῆς Θεσπρωτίας ἐπωφελεῖται ἐκ τούτου καὶ ἄλλως. Προσδιορίζεται δι' αὐτοῦ ἀκριβῶς ἡ χρονολογία τῶν πλείστων ἐπισκόπων (ἂν μὴ ὅλων), τῶν ἀκμασάντων ἀπὸ τοῦ 1792 μέχρι τοῦ 1848, εὑρηνται διάφοροι κληρικοὶ ἐπίτροποι ἐν τῇ τότε ἐπισκοπῇ καὶ σῴζονται καὶ τὰ ὀνόματα τῶν τότε ἐφημερίων τῆς πόλεως Παραμυθίας.

Ἀλλὰ καὶ τὸ ἑξῆς χρονολογικὸν σημείωμα εὑρηται ἐν ἀρχῇ τῆς 18ης σελίδος:

«εἰς τοὺς ᾳωιζ΄. ἐν μηνὶ μαΐῳ ιβ΄: 12

ἀπέρασεν ὁ ἐκλαμπρότατος μπεῖ ζαντὲς Ἀλέξιος ὁ χαντζαρλῆς, πρέσβις διὰ τὴν πάργαν καὶ ἐκόνευσεν εἰς τὴν ἐπισκοπὴν παραμυθίας ἀρχιερατεύοντος Ἀμβροσίου τοῦ ἐξ Ἄρτης»·

συμπίπτει δὲ τὸ γεγονὸς τοῦτο πρὸς τὸ ἔτος τῆς ἀπερμπολήσεως πόλεως ταύτης ὑπὸ τῶν Ἄγγλων, συμβᾶσαν μετ' ὀλίγους μῆνας.

Καὶ ἐπίσκοπος μὲν πρῶτος ἐν τῷ Κώδικί ἐστιν ὁ *Ἄνθιμος*, ὅστις εὑρηται ὑπογεγραμμένος δὶς κατὰ τὸ ἔτος 1792 ὑπό τε τὰ ἄρθρα δηλονότι καὶ ὑπὸ τὸ δεύτερον προικοσύμφωνον· εἰς τὴν 10ην σελίδα εὑρηται ὑπογεγραμμένος ὁ ἐπίσκοπος *Προκόπιος* εἰς τὸ περιθώριον ἀριστερὰ εἰς δυσανάγνωστόν τινα σημείωσιν, περικεκομμένην μάλιστα κατὰ τὸ δέσιμον τοῦ χειρογράφου, μὲ χρονολογίαν *1808. Μαΐου 22.* Ἡ ὑπογραφὴ *Προκόπιος* διακρίνεται λίαν καλῶς ἐνταῦθα.

Εἰς τὴν 17ην σελίδα ὑπὸ τὰ δύο προικοσύμφωνα αὐτῆς ὑπογέγραπται ὁ *Ἀμβρόσιος*, ὑπὸ τὸ πρῶτον μὲ χρονολογίαν *ᾳωιγ΄ Ἀπριλίου ιδ΄*, ὑπὸ τὸ δεύτερον εἰς τοὺς *1817 Ἰανουαρίου 11*. Ὁ *Ἀμβρόσιος* οὗτος εὑρηται καὶ εἰς τὴν σημείωσιν κατὰ τὴν ἀρχὴν τῆς 18ης σελίδος.

Εἰς τὴν 18ην σελίδα ἐπίσης ὑπὸ τὰ δύο προικοσύμφωνα αὐτῆς εὑρηται ὑπογεγραμμένος ὁ *Νεόφυτος* μὲ χρονολογίαν *1822*.

Εἰς τὴν 20ὴν σελίδα ἔχει τὴν ὑπογραφήν του ὁ καλλιγράφος ἐπίσκοπος *Ἀγάπιος* ὑπὸ τὴν «Σαφεστέραν ἔκθεσιν»· οὗτος δὲ ἔμεινε Παραμυθίας ἐπίσκοπος μέχρι τοῦ 1848, ὁπότε ἐτελεύτησε καὶ μεθ' ἣν ἐποχὴν δὲν ἐγράφη τι πλέον ἐν τῷ Κώδικι.

Οὕτως δ' ἐκ τῶν ἀνωτέρω ἐπιδιορθοῦμεν ἀσφαλῶς τὸν χρονολογικὸν κατάλογον τῶν

ἐπισκόπων Παραμυθίας κατὰ τὰ ἔτη ταῦτα, λίαν λελανθασμένως ἔχοντα καὶ παρ' *Ἀραβαντινῷ* καὶ παρὰ κ. *Ἀλεξούδῃ* καὶ παρ' ἡμῖν, δημοσιεύσασιν αὐτὸν πρὸ καιροῦ, ὃν εὑρίσκομεν ἤδη ἔχοντα ὡς ἑξῆς:

Ἄνθιμος 1789—1799.

Χρύσανθος 1805. Γνωστὴ ἡ χρονολογία ἐκ τῆς ἱστορίας. Ἐν τῷ Κώδικι δὲν ἀπαντᾷ.

Προκόπιος 1808. Δείκνυται ἐκ τοῦ Κώδικος.

Παρθένιος 1812. Κατὰ *Ἀραβαντινόν*, καὶ ἐπειδὴ δὲν ἀντιστρατεύεται πρὸς τὸν Κώδικα, ὅστις οὐδόλως τὸν ἀναφέρει.

Ἀμβρόσιος 1813—1817, ὡς ἐκ τοῦ Κώδικος βεβαιοῦται.

Ἀρσένιος 1817—1822.

Ὁ *Ἀραβαντινὸς* ἐσφαλμένως τίθησιν αὐτὸν ἀπὸ τοῦ 1814—1816, διότι ὁ Κῶδιξ βεβαιοῖ περὶ τὴν ἐποχὴν ταύτην τὸν *Ἀμβρόσιον*. Ἐπειδὴ δὲ μένει κενὸν ἐν τῷ Κώδικι, τῇ ἀσφαλεστάτῃ ταύτῃ πηγῇ, τὸ ἀπὸ τοῦ ἔτους 1817 ἕως τοῦ 1822 διάστημα, τιθέμεθα τὸν *Ἀρσένιον* ἐνταῦθα, μέχρις οὗ ἐξ ἐγγράφων ἄλλων δηλωθῇ ἡ χρονολογία του.

Νεόφυτος 1822. Δείκνυται ἐκ τοῦ Κώδικος.

Προκόπιος. Περὶ τούτου λεκτέα ὅσα καὶ περὶ τοῦ *Ἀρσενίου* ἀνωτέρω. Κενὸν δι' αὐτὸν διάστημα μένει τὸ 1822—1827.

Ἀγάπιος 1827—1848. Ὡς φαίνεται καὶ ἐν τῷ Κώδικι.

Ἐπίσης ἐκ τοῦ Κώδικος δηλοῦται ὅτι ὁ *Ἀμβρόσιος* δὲν εἶναι «εἶτα Ἄρτης», ὡς λέγει ὁ *Π. Ἀραβαντινὸς* εἰς τὰς Ἀναγραφάς του, ἀλλ' «ἐξ Ἄρτης», ὡς λέγει τὸ ἐν τῇ 18ῃ σελίδι χρονολογικὸν σημείωμα.

Ἐπιτρόπους δὲ μόνον ὁ *Ἀγάπιος* ἔχει ἐν τῷ Κώδικι. Καὶ κατὰ τὰ 1832 μὲν ὑπογράφεται εἰς τὰ προικοσύμφωνα «ὁ τοῦ ἁγίου Παραμυθίας ἱεροδιάκονος *Ἰωαννίκιος*», κατὰ τὸ 1833 καὶ 1834 «ὁ τοῦ ἁγίου Παραμυθίας ἱεροδιάκονος *Σαμουήλ*», κατὰ τὸ 1839 «ὁ τοῦ ἁγίου Παραμυθίας ἱεροδιάκονος *Ἱλαρίων*», κατὰ τὸ 1841 «ὁ τοῦ ἁγίου Παραμυθίας ἱεροδιάκονος *Σαμουήλ*» (πιθανῶς ὁ καὶ ἀνωτέρω), κατὰ τὸ 1843 «ὁ τοῦ ἁγίου Παραμυθίας ἐπίτροπος *Διονύσιος* ἱερομόναχος», κατὰ τὸ 1846 καὶ 1847 «ὁ τοῦ ἁγίου Παραμυθίας ἐπίτροπος *Παναγιώτης*», ὅστις καὶ *ἐπιστάτης*, ἀντὶ ἐπίτροπος, ἅπαξ ὑπογράφεται ἐνταῦθα, καὶ τέλος κατὰ τὸ 1847 καὶ 1848 «ὁ τοῦ ἁγίου Παραμυθίας ἱεροδιάκονος *Παρθένιος*». Εἶναι δ' ὁ *Παρθένιος* οὗτος, αὐτὸς ὁ πρότερον *Παναγιώτης*, λαβὼν τὸ κληρικὸν σχῆμα καὶ μετονομασθεὶς *Παρθένιος*, μετὰ ταῦτα δὲ γενόμενος ἡγούμενος τῆς μονῆς *Ῥωμανοῦ* παρὰ τὸ Στροῦνι, ἔνθα καὶ ἐτελεύτησε πρό τινων ἐτῶν, τὰ μάλα ἀναδειχθείς.

Τέλος ἐφημέριοι ἀναφέρονται κατὰ μὲν τὸ 1792—1796 εἴς τε τὰ ἄρθρα καὶ εἰς προικοσύμφωνα «πρωτόπαπας *Ἀθανάσιος* ἐφημέριος», εἰς προικοσύμφωνα κατὰ τὸ 1797 «παπᾶ *Χρῆστος* ἐφημέριος», κατὰ τὸ 1807 καὶ 1808 «*παπαδούλης* ὁ ἐφημέριος αὐτοῦ μάρτυς καὶ γραφεύς», κατὰ τὸ 1808 «παπᾶ *Θοδωρῆς* ἐφημέριος, γραφεὺς καὶ μάρτυς», κατὰ τὸ 1832 «*Διαμάντης* ἱερεὺς ἐφημέριος αὐτῶν γράψας μαρτυρῶ», κατὰ τὸ 1832—1839 «*Διονύσιος* ἱερομόναχος ἐφημέριος αὐτῶν γράψας μαρτυρῶ», οὗτος εὑρηται καὶ κατὰ τὸ 1841 καὶ 1846, κατὰ τὸ 1841 «*Ἀναστάσιος* ἱερεὺς γράψας μαρτυρῶ», κατὰ τὸ 1843 «*Παναγιώτης* ἱερεὺς ἐφημέριος αὐτῶν γράψας μαρτυρῶ», ὅστις καὶ κατὰ τὰ 1846 καὶ 1847 ὑπογράφεται· τότε δ' εὑρηται καὶ ὁ «*Γεώργιος* ἱερεὺς ἐφημέριος αὐτῶν γράψας μαρτυρῶ»· εἰς δὲ τὸ τέταρτον προικοσύμφωνον, σελίδα 6ην, εὑρηται ὑπογεγραμμένος «1793 Φεβρουαρίου 12 παπᾶ *Πάσκος* ἐφημέριος τοῦ Μαργαριτίου βεβαιοῖ».

Καὶ ταῦτα μὲν γράψαντες σχετικῶς πρὸς τὸν Κώδικα ἡμῶν ἀρκοῦντα θεωροῦμεν· ἐπαρίνοντες δ' ἀλλαχοῦ τὴν ἐξέτασιν αὐτοῦ ὡς μνημείου γλωσσικοῦ, ἔχοντος ἀποτεθησαυρισμένας πλείστας λέξεις καὶ διάφορα ὀνόματα ἐπιχωριάζοντα, κλείομεν ὧδε τὰς ὀλίγας ἡμῶν γραμμάς.